οἷς ὠνείδιζον τὸν λαόν μου καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου.
9 [9]διὰ τοῦτο ζῶ ἐγώ, λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς Ισραηλ,
διότι Μωαβ ὡς Σοδομα ἔσται καὶ οἱ υἱοὶ Αμμων ὡς Γομορρα, καὶ
Δαμασκὸς ἐκλελειμμένη ὡς θιμωνιὰ ἅλωνος καὶ ἠφανισμένη εἰς
τὸν αἰῶνα· καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτούς, καὶ
10 οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς. [10]αὕτη αὐτοῖς
ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ
11 τὸν κύριον τὸν παντοκράτορα. [11]ἐπιφανήσεται κύριος ἐπ᾽ αὐτοὺς
καὶ ἐξολεθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσ-
κυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι
τῶν ἐθνῶν.
12 13 [12]Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι ῥομφαίας μού ἐστε. [13]καὶ ἐκ-
τενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ βορρᾶν καὶ ἀπολεῖ τὸν Ἀσσύριον καὶ
14 θήσει τὴν Νινευη εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον· [14]καὶ νεμή-
σονται ἐν μέσῳ αὐτῆς ποίμνια καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ
χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται,
καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, κόρακες ἐν τοῖς
15 πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτῆς. [15]αὕτη ἡ πόλις
ἡ φαυλίστρια ἡ κατοικοῦσα ἐπ᾽ ἐλπίδι ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς
Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν μετ᾽ ἐμὲ ἔτι. πῶς ἐγενήθη εἰς ἀφανισμόν,
νομὴ θηρίων· πᾶς ὁ διαπορευόμενος δι᾽ αὐτῆς συριεῖ καὶ κινήσει
τὰς χεῖρας αὐτοῦ.
3 [1]Ὦ ἡ ἐπιφανὴς καὶ ἀπολελυτρωμένη, ἡ πόλις ἡ περιστερά·
2 [2]οὐκ εἰσήκουσεν φωνῆς, οὐκ ἐδέξατο παιδείαν, ἐπὶ τῷ κυρίῳ οὐκ
3 ἐπεποίθει καὶ πρὸς τὸν θεὸν αὐτῆς οὐκ ἤγγισεν. [3]οἱ ἄρχοντες αὐ-
τῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι· οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς
4 Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ πρωί· [4]οἱ προφῆται αὐτῆς πνευ-
ματοφόροι, ἄνδρες καταφρονηταί· οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσιν τὰ
5 ἅγια καὶ ἀσεβοῦσιν νόμον. [5]ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς
καὶ οὐ μὴ ποιήσῃ ἄδικον· πρωὶ πρωὶ δώσει κρίμα αὐτοῦ εἰς φῶς
καὶ οὐκ ἀπεκρύβη καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει καὶ οὐκ εἰς
6 νεῖκος ἀδικίαν. [6]ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν
γωνίαι αὐτῶν· ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν τοῦ μὴ
διοδεύειν· ἐξέλιπον αἱ πόλεις αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν

9 διοτι] οτι S*L | οι $1^0$ > BC | λαου] pr. του A || 11 επιφανησεται] -νης εσται S*AQ$L^p$ | αυτου] -των A† || 13 εκτενω τ. χ. μου AQ$S^c$C | απολω et θησω $S^c$C | νινευην S*(†): cf. Ion. 3 2 || 14 αυτης $3^0$⌒$4^0$ S*† || 15 δια-πορ.] παραπορ. AL, πορ. Q

3 1 απολελυτρ.] pr. η W†, απο > $S^c$L | η πολις W*pau.] η > rel.: post -μενη || 2 παιδειαν] -ας S*† | επεποιθει BS(S*† -ποθ-)WLC] -ποιθησεν AQ || 3 υπελιποντο] -λιφθησαν S† || 4 -ουσιν $1^0$⌒$2^0$ S*† || 5 κριμα] pr. το AQ | εις φως — απαιτησει BSLC] > AQ $Sy^{txt}$, hab. $Sy^{mg}$ sub ※; εις φως praeb., reliqua om. VW† || 6 διαφθορα] καταφθ. S*† | παρα] δια AQ$S^c$C